Ἀντιστροφή.

πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ᾽ ἀπύεις;
εἰπέ μοι τᾷ μογερᾷ. τίς ὤν,
τίς ἄρα μ᾽, ὦ τάλας,
τὰν ταλαίπωρον ὧδ᾽ ἐ-
τήτυμα προσθροεῖς,
θεόσυτόν τε νόσον ὠ-
νόμασας, ἃ μαραί-
νει με χρίουσα κέν-
τροισι, φοιταλέοις;
ἔ, ἔ, σκιρτημάτων δὲ νήστισιν αἰκίαις
λαβρόσυτος ἦλθον, Ἥρας
ἐπικότοισι μήδεσι δαμεῖσα· δυσ-
δαιμόνων δὲ τίνες, οἵ — ἔ, ἔ —
οἷ᾽ ἐγὼ, μογοῦσιν;
ἀλλά μοι τορῶς τέκμηρον.
ὅ τι μ᾽ ἐπαμμένει πα-
θεῖν· τί μῆχαρ, τί φάρ-
μακον νόσου, δεῖξον, εἴπερ οἶσθα,
θρόει, φράζε τᾷ
δυσπλάνῳ παρθένῳ.

V. 632. μασσόνως ἢ ᾽μοὶ γλυκὺ conjicit Elmsl. l. c. p. 236.

V. 664. ἀπαγγέλλοντες mavult Elmsl. l. c. et in Mus. crit. Cant. VI. p. 293.

V. 670. πυρωπὸν ἂν Διὸς μολεῖν Elmsl. p. 236. sed. vid. quos laudat Stallbaum. ad Plat. Phileb. 114.

V. 683. ἀφνίδιος vult Elmsl. p. 237., male.

V. 772. πλὴν ἔγωγ᾽ ὅταν δεσμῶν λυθεὶς Elmsl. p. 238.

V. 903. Hanc epodum in stropham et antistropham distribui vult Elmsl. p. 240., ideoque stropham ita constituit: Ἐμοὶ διότι μὲν ὁμαλὸς ὁ γάμος, ἄφοβος, Οὐδὲ δέδια· μηδὲ κρείσσων Θεῶν ἔρως ἄφυκτον ὄμμ᾽ * * * προσδράκοι με. Quod minime probandum est.

V. 910. τοῖον ἐξαρτύεται ex Rob. praefert Elmsl. l. c. et in Mus. Crit. Cantabr. VI. p. 280. sed quamquam exempla ab eo allata Prom. 916. Soph. Aj. 560. Eurip. Hec. 905. apta sunt, non tamen probant, οἷον poni non posse.